πωμα κυρίῳ περὶ τῆς ἁμαρτίας αὐτῶν ἔναντι κυρίου περὶ τῶν
26 ἀκουσίων αὐτῶν. [26]καὶ ἀφεθήσεται κατὰ πᾶσαν συναγωγὴν υἱῶν
Ισραηλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ πρὸς ὑμᾶς, ὅτι παντὶ
27 τῷ λαῷ ἀκούσιον. — [27]ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως, προσ-
28 άξει αἶγα μίαν ἐνιαυσίαν περὶ ἁμαρτίας, [28]καὶ ἐξιλάσεται ὁ ἱερεὺς
περὶ τῆς ψυχῆς τῆς ἀκουσιασθείσης καὶ ἁμαρτούσης ἀκουσίως
29 ἔναντι κυρίου ἐξιλάσασθαι περὶ αὐτοῦ. [29]τῷ ἐγχωρίῳ ἐν υἱοῖς
Ισραηλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς, νόμος εἷς
30 ἔσται αὐτοῖς, ὃς ἂν ποιήσῃ ἀκουσίως. [30]καὶ ψυχή, ἥτις ποιήσει
ἐν χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύ-
των, τὸν θεὸν οὗτος παροξύνει· ἐξολεθρευθήσεται ἡ ψυχὴ ἐκείνη
31 ἐκ τοῦ λαοῦ αὐτῆς, [31]ὅτι τὸ ῥῆμα κυρίου ἐφαύλισεν καὶ τὰς ἐντο-
λὰς αὐτοῦ διεσκέδασεν, ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη, ἡ
ἁμαρτία αὐτῆς ἐν αὐτῇ.

32 [32]Καὶ ἦσαν οἱ υἱοὶ Ισραηλ ἐν τῇ ἐρήμῳ καὶ εὗρον ἄνδρα συλ-
33 λέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων. [33]καὶ προσήγαγον αὐτὸν
οἱ εὑρόντες αὐτὸν συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων πρὸς
34 Μωυσῆν καὶ Ααρων καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ισραηλ. [34]καὶ
ἀπέθεντο αὐτὸν εἰς φυλακήν· οὐ γὰρ συνέκριναν, τί ποιήσωσιν
35 αὐτόν. [35]καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων Θανάτῳ θανα-
τούσθω ὁ ἄνθρωπος· λιθοβολήσατε αὐτὸν λίθοις, πᾶσα ἡ συνα-
36 γωγή. [36]καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συναγωγὴ ἔξω τῆς παρεμ-
βολῆς, καὶ ἐλιθοβόλησαν αὐτὸν πᾶσα ἡ συναγωγὴ λίθοις ἔξω τῆς
παρεμβολῆς, καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ.

37 38 [37]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν λέγων [38]Λάλησον τοῖς υἱοῖς
Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτοὺς καὶ ποιησάτωσαν ἑαυτοῖς κράσπεδα
ἐπὶ τὰ πτερύγια τῶν ἱματίων αὐτῶν εἰς τὰς γενεὰς αὐτῶν καὶ
ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων κλῶσμα ὑακίνθινον.
39 [39]καὶ ἔσται ὑμῖν ἐν τοῖς κρασπέδοις καὶ ὄψεσθε αὐτὰ καὶ μνη-
σθήσεσθε πασῶν τῶν ἐντολῶν κυρίου καὶ ποιήσετε αὐτὰς καὶ
οὐ διαστραφήσεσθε ὀπίσω τῶν διανοιῶν ὑμῶν καὶ ὀπίσω τῶν
40 ὀφθαλμῶν ὑμῶν, ἐν οἷς ὑμεῖς ἐκπορνεύετε ὀπίσω αὐτῶν, [40]ὅπως
ἂν μνησθῆτε καὶ ποιήσητε πάσας τὰς ἐντολάς μου καὶ ἔσεσθε
41 ἅγιοι τῷ θεῷ ὑμῶν. [41]ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς
ἐκ γῆς Αἰγύπτου εἶναι ὑμῶν θεός, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.

26 κατα πασαν συναγ.] πασα η συναγωγη A | τω προσκειμ.] και τω προσπορευομενω A || 28 fin.] + και αφεθησεται αυτω A (in *O* sub ※) || 30 εξολεθρ.] pr. και A || 31 τα ρηματα B*† || 32 τη ult.] pr. εν A | του σαββατου A || 33 αυτον $2^{0}$ > B† | ξυλα] pr. τα A† | τη ημ. τ. σαββ. > A || 34 αυτον ult.] -τω A || 36 ελιθοβολησεν B† | λιθοις] pr. εν A | συνεταξεν .. τω μωυση] ελαλησεν .. προς μωυσην A || 39 οπισω $2^{0}$ et υμων $2^{0}$ > B | υμεις > B*†